Αποδύς ὄργαζε.] κυρίως πίασωσαι. ὀργὴ γὰρ παρ' Ἴωσιν ἡ πίασα. σημαίνει δὲ καὶ τὸ σπαργᾶν ὀργίζεσθαι. νῦν δὲ ἀντὶ τοῦ μάλαξον. Εὔπολις Προσπαλτίοις. ἢ πηλὸς ὀργιάζειν τινά. Καταπεσὼν ἀπὸ τῆς κλίμακος.] τοῦτο ἐκθλίψιν πέπονθε τοῦ κατάπεσε δευτέρου ἀορίστου. οὐ γὰρ ἐν χρήσει τὸ ἔπεσα, ἵνα καὶ τὸ πέσον.

Bisetvs. Δέον εἰπεῖν ἀνάβαινε, καὶ κατάβαινε, εἶπε, κατάπεσε, ἵνα ἐκτραχηλισθῇς. τοῦτο δὲ παιδιᾶς, καὶ γέλωτος χάριν εἴρηται.

Σχόλια. Τὸ πῦρ ἔγκρυπτ' ἀεί.] ἵνα ἑτοῖμον ᾖ αὐτό, εἰ χρεία γενήσεται φυλακῆς. εἰώθασι γὰρ ἐν ταῖς φυλακαῖς πυρκαϊὰν καίειν. Κωδωνοφορῶν.] οἱ περίπολοι τὰς φυλακὰς περισκοποῦντες ἐρχόμενοι ἐπὶ τοὺς φύλακας, κώδωνας εἶχον. καὶ διὰ τούτων ἐψόφουν πειράζοντες τοὺς καθεύδοντας. καὶ ἵνα οἱ φυλάττοντες ἀντιφθέγγωνται. μήποτε δὲ παρακωμῳδεῖ τὸν Εὐριπίδου Παλαμήδην οὐ πρὸ πολλοῦ

A δεδιδαγμένον. Εἰς θεοὺς ἄνω.] ἐπεὶ μεταξὺ γῆς καὶ οὐρανοῦ ὁ ἀήρ. Οἴμωζε παρ' ἐμέ.] παίζων τοῦτό φησιν, ἐπεὶ εἶπεν αὐτῷ παρ' ἐμέ. Τὴν χέρνιβα.] τὸ ὕδωρ. Δημοσθένης καὶ χερνίβων καὶ κανῶν ἁψάμενον. εἴη δ' ἂν ἀπὸ εὐθείας τῆς χέρνιψ.

Bisetvs. Χέρνιψ, παρὰ τὸ χερνίπτεσθαι, τουτέστι τὰς χέρας, εἴτε χεῖρας νίπτεσθαι. λέγεται δὲ καὶ χέρνιψ παροξυτόνως, ὡς παρὰ Σοφοκλεῖ ἐν Οἰδίποδι Τυράννῳ,

Κοινὸν ποιεῖσθε, μήτε χέρνιβας νέμειν.

B καὶ ὀξυτόνως χερνίψ, ὡς φησιν Εὐστάθιος. χέρνιβον δὲ τὸ ἐν συνηθείᾳ χειρόνιπτρον, ἤγουν τὸ ὑποδεκτικὸν τοῦ ὑγροῦ ἀγγεῖον. ὅπερ Ὅμηρος λέβητα εἴωθε καλεῖν. παρ' ᾧ καὶ χέρνιβα τὸ κατὰ χειρῶν διδόμενον ὕδωρ λέγεται. ἐν τοῖς κάτω ὁ ποιητὴς τὴν χέρνιβα παροξυτόνως πολλάκις λέγει, εἴπερ ἡ γραφὴ καλῶς ἔχει.

ΣΤΡΟΦΗ κώλων ζ.

Χο. Ὁμορροθῶ. συνθέλω.
Συμπαραινέσας ἔχω,
Προσόδια μεγάλα
Σεμνὰ προσιέναι θεοῖσιν,
Ἅμα δὲ προσέτι χάριτος ἕνεκα,
Πρόβατόν τι θύειν.
Ἴτω ἴτω δὲ Πυθιὰς βοὰ τῷ θεῷ.
Συναδέτω δὲ Χαῖρις ᾠδάν.

VERSIO membrorum septem.

C

CH. Simul remigo, simul volo,
Simul admonens habeo
Introitus magnos
Castos adire deis.
simul autem adhuc gratiæ causa,
Ouem aliquam sacrificare.
Eat eat autem, Pythias clamat Deo,
D simul cantet autem Chæris cantum.

ΑΛΛΟΙΟΣΤΡΟΦΑ.

ΠΕΙΣΘΕΤΑΙΡΟΣ, ΕΠΟΨ, ΙΕΡΕΥΣ.

Πεισ. Παῦσαι σὺ φυσῶν. Ἡράκλεις. τουτὶ τί ἦν;
Τουτὶ μὰ Δί' ἐγὼ πολλὰ δὴ καὶ δείν' ἰδών,
Οὔπω κόρακ' εἶδον ἐμπεφορβιωμένον.
Επ. Ἱερεῦ. σὸν ἔργον, θῦε τοῖς καινοῖς θεοῖς.

ALIA VERSIO.

PISTHETERVS, EPOPS, SACERDOS.

E

PI. Cessa tu flans, Hercules, hoc quid erat?
Hoc per Iouem ego multa iam & grauia videns,
Nondum coruum vidi frenatum.
EP. sacerdos, tuum opus, sacrifica nouis deis.

Σχόλια. Ὁμορροθῶ] κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ καὶ στροφὴ κώλων διαφόρων θ. ὧν τὸ α΄ περίοδος ἐξ ἰαμβικῆς βάσεως καὶ τροχαϊκῆς καταληκτικῆς, τὰ ἑξῆς τρία τροχαϊκά. τὸ μὲν ἑφθημιμερές. τὸ δὲ πενθημιμερές. τὸ δ' ἀκατάληκτον δίμετρον ὡς καὶ τὸ η. τὸ ς ἀναπαιστικὴ βάσις. τὸ ζ ἰαμβικὸν ἑφθημιμερὲς καὶ τὸ θ. τινὲς δὲ προστιθέασι καὶ ᾠδὰν ὑφ' ὃ κορωνίς.

Bisetvs. Ἐν τούτων τῶν στίχων ἀριθμῷ, διαιρέσει, καὶ μετρήσει τὰ σχόλια οὐ συνᾴδει τοῖς τοῦ ποιητοῦ μέτροις. ἴσως δὲ καὶ ταῦτα τὰ μέτρα, καὶ τὰ σχόλια οὕτω γραπτέον.

Ὁμορροθῶ, συνθέλω.
Συμπαραινέσας ἔχω,
Προσόδια μεγάλα
Σεμνὰ προσιέναι θεοῖσιν.
Ἅμα δὲ προσέτι χάριτος ἕνεκα,
Πρόβατόν τι θύειν.
Ἴτω, ἴτω δὲ Πυθιὰς
Βοὰ τῷ θεῷ.
Συναδέτω δὲ Χαῖρις ᾠδάν.

Ὁμορροθῶ.] κορωνὶς καὶ εἴσθεσις μετὰ χοροῦ, καὶ στροφὴ κώλων διαφόρων ἐννέα. ὧν τὸ α. περίοδος ἐξ ἰαμβικῆς βάσεως, καὶ τροχαϊκῆς καταληκτικῆς. τὰ ἑξῆς δύο, τροχαϊκά,
F τὸ μέν, ἑφθημιμερές. τὸ δέ, πενθημιμερές. τὸ δ. ἀκατάληκτον δίμετρον, ὡς καὶ τὸ ε. τὸ ς, ἀναπαιστικὴ βάσις, ὡς καὶ τὸ η. τὸ ζ. ἰαμβικὸν ἑφθημιμερές. καὶ τὸ θ. τινὲς δὲ προστιθέασι καὶ ᾠδάν, ὑφ' ὃ κορωνίς.

Σχόλια. Ὁμορροθῶ.] Σοφοκλέους ἐκ Πηλέως, ἀντὶ τοῦ τὸ αὐτὸ φρονῶ. ὁμορροθεῖν δὲ κυρίως, τὸ ἅμα καὶ συμφώνως ἐρέσσειν. νῦν δέ. ἀντὶ τοῦ συνεργῶ τῇ εἰς θεοὺς θυσίᾳ. Συμπαραινέσας ἔχω.] ἀντὶ τοῦ συμπαρῄνεσα.
G Προσόδια μεγάλα.] ἀπὸ τῶν προσόδων, οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς θυσίας. καὶ προσόδια τὰ εἰς πανηγύρεις τῶν θεῶν ποιήματα παρὰ τῶν λυρικῶν λεγόμενα. Πυθιὰς βοά.] χοαί, αὐλητής, εἴρηται ὅτι καὶ ἐπὶ ταῖς θυσίαις ηὔλουν. (Bisetvs. Τὰ παλαιὰ σχόλια οὕτω γραπτέον δοκεῖ. Πυθιὰς βοά.] πυθιάδες βοαί, καὶ αὐλήσεις. αὐλήσεις δέ, αἱ μετ' αὐλοῦ γινόμεναι, καὶ ᾀδόμεναι ᾠδαί.) ἄλλως.